Fulgetra est spiritus ignitus & coruscans, dum nubes dirumpitur: quæ tonitru antecedere solet cùm tamen post ipsum fiat. Siquidem quod oculis percipitur, ei quod auribus obiectum est, anteuertere natura comparatum est: quippe illo è longinquo aspectabili: hoc tum demum exaudibili, quum auribus appulsum sit: præsertim quando alterum omnium naturarum celeritate maxima præditum est, ignita scilicet natura, alterum minus volucre, quòd est naturæ spirabilis & aëreæ, non antequam aures pepulerit, ad auditum peruenit. At verò quod fulserit, si ad terram vsque cursim illisum sit, Fulmen vocatur. Sin semiustum quidem, sed vniuersum tamen violentúmque incubuerit, Prester, hoc est accensus turbo, dicitur. Quòd si prorsus ignis nihil interim conceperit, Typhon vocatur: qui est vortex procellosus & euerberans. Horum quicquid in terram impetu decubuerit, Sceptos, id est Fulmen nominatur, qui Psolois dicitur, cùm fuliginem contraxerit: Arges, si raptim emicuerit: Elicias, si lineari specie conformatus est. Scepti dicuntur quæcunque fulmina, in quibus illisa sint. Ad summam, eorum quæ in aere apparent, alia specie tenus existunt: alia etiam habent naturæ substantiam. Speciem tantum exhibent arcus cælestes, & Virgulæ, aliáque huiusmodi. Substantia etiam apparent fulgores cælestes, & quos emicantes vocamus & crinitæ stellæ, & iis similia. Arcus est species segmenti solaris vel lunaris, edita in nube humida, & caua & perpetua: quam velut in speculo intuemur, imagine relata in speciem circularis ambitus. Virga est arcus cælestis exhibitio in directum conformata. Area est edita imago sidereæ claritatis vndique illustrata, hactenus ab arcu differens, quòd ille è regione Solis ac Lunæ visendum se exhibet, quum area sidus totum ambitu cingere orbiculari soleat. Fulgor est ignis collectio, qui in aere exarsit: per cælum ille quidem aut iaculari specie transmeás, aut vno loco fixus. At eiaculatio, ignis est enatus, attritu in aere, pernici motu inuehens, ob eámque pernicitatem oblongam formam simulans. Fulgor fixus est extensio longè porrecta, & loco permanens, & tanquam profluuium sideris. Quod si in alteram partem dilatetur, Crinita stella vocatur. Sæpenumero autē euenit, vt fulgores tempore multo maneant: sæpe vt confestim extinguantur. Complures item & aliæ rerum formæ cernuntur in cælo apparentium: vt quæ Faces, quæ Trabeculæ, quæ Dolia, quæ Scrobes nuncupantur: omnia

A κατὰ δὲ τὴν τοῦ νέφους ἔκρηξιν πυρωθὲν τὸ πνεῦμα καὶ λάμψαν, ἀστραπὴ λέγεται· ὃ δὴ πρότερον τῆς βροντῆς προσέπεσεν, ὕστερον γενόμενον· ἐπεὶ τὸ ἀκουστὸν ὑπὸ τοῦ ὁρατοῦ πέφυκε φθάνεσθαι, τοῦ μὲν, καὶ πόρρωθεν ὁρωμένου. τοῦ δὲ, ἐπειδὰν ἐμπελάσῃ τῇ ἀκοῇ· καὶ μάλιστα, ὅταν, τὸ μὲν, τάχιστον ᾖ τῶν ὄντων, λέγω δὲ τὸ πυρῶδες· τὸ δὲ, ἧττον ταχὺ, ἀερῶδες ὂν, ἐν τῇ πλήξει πρὸς ἀκοὴν ἀφικνούμενον. B τὸ δ' ἀστράψαν, ἀναπυρωθὲν, βιαίως ἄχρι τῆς γῆς διεκθέον, κεραυνὸς καλεῖται· ἐὰν δὲ ἡμίπυρον ᾖ, σφοδρὸν δὲ ἄλλως καὶ ἀθρόον, πρηστήρ· ἐὰν δ' ἄπυρον ᾖ παντελῶς, τυφών. ἕκαστον δὲ τούτων, κατασκῆψαν εἰς τὴν γῆν, σκηπτὸς ὀνομάζεται. τῶν δὲ κεραυνῶν, οἱ μὲν αἰθαλώδεις, ψολόεντες λέγονται· οἱ δὲ ταχέως διάττοντες, ἀργῆτες· ἑλικίαι δὲ, C οἱ γραμμοειδῶς φερόμενοι· σκηπτοὶ δὲ, ὅσοι κατασκήπτουσιν εἴς τι. Συλλήβδην δὲ, τῶν ἐν ἀέρι φαντασμάτων, τὰ μὲν, ἐστὶ κατ' ἔμφασιν· τὰ δὲ, καθ' ὑπόστασιν. κατ' ἔμφασιν μὲν, ἴριδες, καὶ ῥάβδοι, καὶ τὰ τοιαῦτα· καθ' ὑπόστασιν δὲ, σέλα τε, καὶ διάττοντες, καὶ κομῆται, καὶ τὰ τούτοις παραπλήσια· ἶρις μὲν οὖν, ἐστὶν ἔμφασις ἡλίου τμήματος, ἢ σελήνης, ἐν νέφει νοτε- D ρῷ, καὶ κοίλῳ, καὶ συνεχεῖ, πρὸς φαντασίαν ὡς ἐν κατόπτρῳ θεωρουμένη κατὰ κύκλου περιφέρειαν. ῥάβδος δὲ, ἐστὶν ἴριδος ἔμφασις εὐθεῖα. ἅλως δὲ, ἐστὶν ἔμφασις λαμπρότητος ἄστρου περίαυγος. διαφέρει δὲ ἴριδος, ὅτι ἡ μὲν ἶρις ἐξ ἐναντίας φαίνεται ἡλίου τε καὶ σελήνης· ἡ δὲ ἅλως, κύκλῳ παντὸς ἄστρου. σέλας δὲ, ἐστὶ πυρὸς ἀθρόου ἔξαψις ἐν ἀέ- E ρι. τῶν δὲ σελάων, ἃ μὲν, ἀκοντίζεται· ἃ δὲ στηρίζεται. ὁ μὲν οὖν ἐξακοντισμὸς, ἐστὶ πυρὸς γένεσις ἐκ παρατρίψεως, ἐν ἀέρι φερομένου ταχέως, καὶ φαντασίαν μήκους ἐμφαίνοντος διὰ τὸ τάχος· ὁ δὲ στηριγμὸς, ἐστὶ χωρὶς φορᾶς προμήκης ἔκτασις, καὶ οἷον ἄστρου ῥύσις· πλατυνομένη δὲ κατὰ θάτερον, κομήτης καλεῖται. πολλάκις δὲ, τῶν σελάων, τὰ μὲν, ἐπιμένει πλείονα χρόνον· τὰ δὲ, F παραχρῆμα σβέννυται. πολλαὶ δὲ καὶ ἄλλαι φαντασμάτων ἰδέαι θεωροῦνται, λαμπάδες τε καλούμεναι, καὶ δοκίδες, καὶ πίθοι,